und brauche dann die ganze Kunst des Sisyphos,
denn Schwindelei entscheidet diesen Handel nicht.

Dikaeopolis.

Jetzt heisst es also, muthig die Gefahr besteh'n,
und schnell muss ich zum Hause des Euripides.

(geht auf ein Haus zu.)

Zehnte Scene. Dikaeopolis. Sclaven des Euripides.

Dikaeopolis.

(ruft vor dem Hause des Euripides.)

He Bursch!

δ' ἐμοῦ γ' ἕνεκα π. Ἰ. Σκοτοδασυπυκνότριχα (σκυτοδ. vor *Bernhardy*) τὴν Ἀ. κ. (Paroem. I 15. 186 19. 352 8 II 4 7. 56 10. 104 9. 132 16. 139 23. 261 21.) — 360 Et. M. 719 36 *σκοτοδασυπυκνόθριξ. 361—363 Suid. Σίσυφος. ὄνομα κύριον. Ἀριστοφάνης· ἀλλ' ἐξάν. μ. τ. Σ., Ὡς σκῆψιν ἂν ἀγὼν (σκῆψιν ἀγὼν ABVE Med.) ο. οὐ προσδέξεται, Ὥρα ἐστὶν ἤδη καρτερᾶν ψ. λ.

ΘΕΡΑΠΩΝ

τίς οὗτος;

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἔνδον ἔστ' Εὐριπίδης;

ΘΕΡΑΠΩΝ

οὐκ ἔνδον ἔνδον ἐστίν, εἰ γνώμην ἔχεις.

ΔΙΚΑΙΟΠΟΛΙΣ

πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον;

ΘΕΡΑΠΩΝ

ὀρθῶς ὦ γέρον.
ὁ νοῦς μὲν ἔξω ξυλλέγων ἐπύλλια
οὐκ ἔνδον· αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦ τρισμακάρι' Εὐριπίδη,
ὅθ' ὁ δοῦλος οὑτωσὶ σοφῶς ὑποκρίνεται.
ἐκκάλεσον αὐτόν.

ΘΕΡΑΠΩΝ

ἀλλ' ἀδύνατον.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀλλ' ὅμως,
οὐ γὰρ ἂν ἀπέλθοιμ'· ἀλλὰ κόψω τὴν θύραν.

Εὐριπίδη Εὐριπίδιον
ὑπάκουσον, εἴπερ πώποτ' ἀνθρώπων τινί.
Δικαιόπολις καλεῖ σ' ὁ Χολλείδης, ἐγώ.

367—370 Suid. ἀναβάδην ... Ἀριστοφάνης ... καὶ αὖθις πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; Ὁ νοῦς μ. ἔ. συλλέγων ἐ. Οὐκ ἔνδον· αὐτὸς δ' ἔ. ἀ. π. Τραγῳδίαν. — αὐτός ... καὶ Ἀριστοφάνης· ὁ νοῦς μὲν ἔξω. αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ Τραγῳδίας (τραγῳδίαν AC). — cf. ἐπύλλια ξυλλέγω. — 368 συλλέγον schol. — 370 schol.

Sklave.
(aus der Thür sehend.)

Wer ist da?

Dikaeopolis.

Ist Euripides daheim?

Sklave.

Er ist daheim und nicht daheim; versteh' nur recht!

Dikaeopolis.

Wie so daheim und doch nicht?

Sklave.

Ganz natürlich, Freund!
Sein Geist, der auswärts Verschen nachgeht, ist nicht daheim,
er selbst daheim, sitzt oben und schreibt mit grossem Fleiss
an einer Tragödie.

Dikaeopolis.

Dreifach sel'ger Euripides,
wenn solche Weisheit schon dein Sklav im Munde führt!
Ruf' ihn heraus!

Sklave.

Das ist unmöglich.

Dikaeopolis.

Dennoch thu's!
Fort geh' ich nicht. So klopf' ich selbst denn an die Thür.

Elfte Scene. Dikaeopolis. Euripides. Ein Sklave desselben.

Dikaeopolis.
(klopft an die Thür.)

Euripides, Herzens-Euripides, o hör mich an,
wenn jemals einen Sterblichen du so hoch beglückt!
Ich, Dikaeopolis ruft dich vom Chollidengau.

τρυγῳδίαν δὲ εἶπεν ἀντὶ τοῦ κωμῳδίαν. — 371 schol. *οὗτοσί.* — 374 Suid. *Εὐριπίδη Εὐριπίδιον.* — 375 Suid. *εἶπερ. ὑπάκουσον, εἴπερ πότ' ἀνθρώπων τινί. λείπει τὸ ὑπήκουσας.* — 376 schol. *Χολλίδης.*

ΕΥΡΙΠΙΔΗΣ

ἀλλ' οὐ σχολή.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀλλ' ἐκκυκλήθητ'.

ΕΥΡΙΠΙΔΗΣ

ἀλλ' ἀδύνατον.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀλλ' ὅμως.

ΕΥΡΙΠΙΔΗΣ

ἀλλ' ἐκκυκλήσομαι· καταβαίνειν δ' οὐ σχολή.

ΔΙΚΑΙΟΠΟΛΙΣ

Εὐριπίδη.

ΕΥΡΙΠΙΔΗΣ

τί λέλακας;

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀναβάδην ποιεῖς,
ἐξὸν καταβάδην; οὐκ ἐτὸς χωλοὺς ποιεῖς.
ἀτὰρ τί τὰ ῥάκι' ἐκ τραγῳδίας ἔχεις,
ἐσθῆτ' ἐλεινήν; οὐκ ἐτὸς πτωχοὺς ποιεῖς.
ἀλλ' ἀντιβολῶ πρὸς τῶν γονάτων σ' Εὐριπίδη,
δός μοι ῥάκιόν τι τοῦ παλαιοῦ δράματος.
δεῖ γάρ με λέξαι τῷ χορῷ ῥῆσιν μακράν·
αὕτη δὲ θάνατον, ἢν κακῶς λέξω, φέρει.

ΕΥΡΙΠΙΔΗΣ

τὰ ποῖα τρύχη; μῶν ἐν οἷς Οἰνεὺς ὁδὶ
ὁ δύσποτμος γεραιὸς ἠγωνίζετο;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐκ Οἰνέως ἦν, ἀλλ' ἔτ' ἀθλιωτέρου.

---

378 Suid. *ἐγκυκλήθητι.* — 380 Suid. *λέλακας.* — 386 Phot. *ῥῆσις μακρά. διεξοδικὸς λόγος μακρός.* — *ῥῆσις. δημηγορία καὶ συμ-*

Euripides.
(inwendig.)

Hab' keine Zeit.

Dikaeopolis.

Lass dich herausdreh'n!

Euripides.

Ist unmöglich.

Dikaeopolis.

Dennoch thu's!

Euripides.

Nun meinetwegen, aber herunter komm' ich nicht.

(Enkyklema. Man sieht im Oberstock Euripides, in zerrissene Kleider gehüllt, eifrig studieren, umgeben von Büchern, Garderobestücken und sonstigem tragischem Apparat.)

Dikaeopolis.

Euripides —

Euripides.

Was kündest du?

Dikaeopolis.

Oben dichtest du
statt unten? da sind natürlich deine Helden lahm.
Und selbst bist du mit tragischen Lumpen angethan,
dem Jammerkleid? kein Wunder, dass sie betteln geh'n.
Ich fleh', Euripides, und umfasse deine Knie,
gib einen Fetzen aus jenem alten Drama mir!
denn declamiren soll ich dem Chor ein langes Stück,
und mach' ich's schlecht, so ist's um meinen Hals gescheh'n.

Euripides.

Ja was für Lumpen? die, in denen Oeneus da
einst aufgetreten, der beklagenswerthe Greis?

Dikaeopolis.

Des Oeneus nicht, nein eines noch leidvolleren.

βουλή· καὶ ὅλος ὁ τοῦ ῥήτορος λόγος. οὕτως Ἀριστοφάνης. *Ruhnk.* Timae. 228.

ΕΥΡΙΠΙΔΗΣ

τὰ τοῦ τυφλοῦ Φοίνικος;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐ Φοίνικος, οὔ·
ἀλλ' ἕτερος ἦν Φοίνικος ἀθλιώτερος.

ΕΥΡΙΠΙΔΗΣ

ποίας ποθ' ἁνὴρ λακίδας αἰτεῖται πέπλων;
ἀλλ' ἦ Φιλοκτήτου τὰ τοῦ πτωχοῦ λέγεις;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὔκ, ἀλλὰ τούτου πολὺ πολὺ πτωχιστέρου.

ΕΥΡΙΠΙΔΗΣ

ἀλλ' ἦ τὰ δυσπινῆ θέλεις πεπλώματα,
ἃ Βελλεροφόντης εἶχ' ὁ χωλὸς οὑτοσί;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐ Βελλεροφόντης· ἀλλὰ κἀκεῖνος μὲν ἦν
χωλός, προσαιτῶν στωμύλος δεινὸς λέγειν.

ΕΥΡΙΠΙΔΗΣ

οἶδ' ἄνδρα Μυσὸν Τήλεφον.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ναὶ Τήλεφον.
τούτου δὸς ἀντιβολῶ σέ μοι τὰ σπάργανα.

ΕΥΡΙΠΙΔΗΣ

ὦ παῖ δὸς αὐτῷ Τηλέφου ῥακώματα·
κεῖται δ' ἄνωθεν τῶν Θυεστείων ῥακῶν
μεταξὺ τῶν Ἰνοῦς. ἰδοὺ ταυτί, λαβέ.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ,

391 Grammat. in append. Etym. Gud. 638 14 φοίνικος κήρυκος. Ἀριστοφάνης τὰ τυφλοῦ φοίνικος, οὐ φοίνικος· οὔ. — 393 Suid. λακίδας πεπλωμάτων (vgl. 396). τὰ διερρωγότα ἱμάτια. παρὰ Ἀριστοφάνει. — 395 Suid. πτωχίστερος. — 396 Suid. δυσπινῆ . . . Ἀριστοφάνης· ἀλλ' ἦ (ἤδη BC*V Zon. I 582) τὰ δυσπινῆ θέλεις πεπλώματα; — 401 Hesych. σπάργανα. δεσμά, ῥάκη. — 405 f. Suid.

Euripides.

Etwa des blinden Phoenix?

Dikaeopolis.

Nicht des Phoenix, nein;
ein andrer war's, erbarmenswerther als Phoenix selbst.

Euripides.

Welch ein zerriss'nes Kleid der Mensch nur haben will!
Du meinst den Kittel des Bettlers Philoktet gewiss.

Dikaeopolis.

Nein nein; von einem, der viel viel bettelhafter noch.

Euripides.

Die schmutzigen Gewänder hast du wohl im Sinn,
die mein Bellerophontes hier der lahme trug?

Dikaeopolis.

Auch die nicht. Den ich meine, lahmen that er auch,
er war zudringlich, schwatzhaft und in Worten gross.

Euripides.

Jetzt weiss ich's; der Myser Telephos?

Dikaeopolis.

Ja Telephos!
von dem, ich bitte, gib die alten Lappen mir.

Euripides.

So reich' ihm, Bursch, des Telephos zerlumpten Rock;
er liegt da oben über den Fetzen des Thyest,
bei Ino's traurigem Kostüm. (der Diener holt das verlangte hervor.)
Da, nimm sie hin!

Dikaeopolis.

(indem er das Kleid gegen das Licht hält.)

Durchschauer Zeus und Ueberschauer du der Welt,

διόπτης. ὦ Ζεῦ διόπτα καὶ κατόπτα παντα χῆ (Zon. I 508). Eust. 817 53 *ἐκ τούτου δὲ καὶ Ζεὺς διόπτης, ὡς δηλοῖ τὸ ὦ Ζεῦ δ. κ. κ. π.* Gregor. Cor. dial. 132 *καὶ τὰ προστακτικὰ δὲ παρ' αὐτοῖς λείπει. ὡς παρ' Ἀριστοφάνει ἐν Ἀχαρνεῦσιν· ὦ Ζεῦ δ. κ. κ. π., Ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.*

ἐνσκευάσασθαί μ' οἷον ἀθλιώτατον.

Εὐριπίδη, 'πειδήπερ ἐχαρίσω ταδί,
κἀκεῖνά μοι δὸς τἀκόλουθα τῶν ῥακῶν,
τὸ πιλίδιον περὶ τὴν κεφαλὴν τὸ μύσιον.
δεῖ γάρ με δόξαι πτωχὸν εἶναι τήμερον,
εἶναι μὲν ὅσπερ εἰμί, φαίνεσθαι δὲ μή·
τοὺς μὲν θεατὰς εἰδέναι μ' ὅς εἰμ' ἐγώ,
τοὺς δ' αὖ χορευτὰς ἠλιθίους παρεστάναι,
ὅπως ἂν αὐτοὺς ῥηματίοις σκιμαλίσω.

ΕΥΡΙΠΙΔΗΣ

δώσω· πυκνῇ γὰρ λεπτὰ μηχανᾷ φρενί.

ΔΙΚΑΙΟΠΟΛΙΣ

εὖ σοι γένοιτο, Τηλέφῳ δ' ἀγὼ φρονῶ.
εὖ γ' οἷον ἤδη ῥηματίων ἐμπίπλαμαι.
ἀτὰρ δέομαί γε πτωχικοῦ βακτηρίου.

ΕΥΡΙΠΙΔΗΣ

τουτὶ λαβὼν ἄπελθε λαΐνων σταθμῶν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦ θύμ'· ὁρᾷς γὰρ ὡς ἀπωθοῦμαι δόμων
πολλῶν δεόμενος σκευαρίων· νῦν δὴ γενοῦ
γλίσχρος προσαιτῶν λιπαρῶν τ'. Εὐριπίδη,
δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.

ΕΥΡΙΠΙΔΗΣ

τί δ' ὦ τάλας σε τοῦδ' ἔχει πλέκους χρέος;

ΔΙΚΑΙΟΠΟΛΙΣ

χρέος μὲν οὐδέν, βούλομαι δ' ὅμως λαβεῖν.

ΕΥΡΙΠΙΔΗΣ

λυπηρὸς ἴσθ' ὢν κἀποχώρησον δόμων.

---

411 Suid. εἶναι. ὑπάρχειν. εἶναι μὲν ὅσπερ κτλ. — φαινόμενα ... καὶ Ἀριστοφάνης· εἶναι μὲν ὥσπερ (ὅσπερ E Med.) εἰμί, φαίνεσθαι δὲ μή. — 414 Suid. σκιμαλίσω. — 416 schol. εὐδαιμονοίης. — 418 Poll. X 173 καὶ ὡς ἐν Γήρᾳ πτωχικοῦ βακτηρίου. (*Bergk* bei Mein. com. II 999.) — 421 f. Suid. γλίσχρος .... γενοῦ Γλίσχρος προσαιτῶν λιπαρῶν τ' Εὐριπίδη. — λιπαρεῖ ... γλίσχρως

lass mich recht jämmerlich scheinen und beklagenswerth!

(legt sich das Kostüm an.)

Euripides, da du dieses mir gewähret hast,
so gib mir nun das Zubehör der Lumpen auch,
das kleine Hütchen für den Kopf, das mysische.
Denn aufzutreten hab' ich heut als Bettelmann,
zu sein zwar, der ich wirklich bin, zu scheinen nicht;
das Publicum mag immer wissen, wer ich bin,
der Chor muss aber dabei steh'n als ein dummer Hans,
dass ich ihn mit Wortgeklingel nasenstübern kann.

Euripides.

Es sei! denn Feinem strebst du nach mit tücht'gem Sinn.

Dikaeopolis.

Sei mir gesegnet! doch dem Telephos will ich —
Bravo! die Phrasen geh'n mir schon wie Wasser ab.
Doch nun bedarf ich auch noch eines Bettelstabs.

Euripides.

Hier! aber jetzt verlasse diese Mauern schnell.

Dikaeopolis.

Mein Herz! du siehst, so grausam weist man mir die Thür,
und ich bedarf noch viele Kleinigkeiten. Jetzt
sei zähe, dreist und unverschämt. Euripides,
das Körbchen gib mir, wo das Licht ein Loch gebrannt.

Euripides.

Zu welchem Zweck, Elender, willst du das Geflecht?

Dikaeopolis.

's hat keinen Zweck, besitzen möcht' ich's aber doch.

Euripides.

Du wirst mir lästig, wisse; lass mich jetzt allein.

(*γλίσχρος* BVE Med.) *πρ. λ. τ' Εὐριπίδην.* (*Εὐριπίδης* E Med.) — 423 ff. Poll. X 92 *ἐν δὲ Ἀχαρνεῦσι σπυρίδιον, ὃ καὶ πλέκος εἴρηκε παρατραγῳδῶν.* Suid. *διακεκαυμένον ... Ἀριστοφάνης· δός μοι σπυρίδιον* (*σπυρίδα* CE *σπυρίδι* Med.) *διακεκαυμένον λύχνῳ.* (*λύχνον* Med.) *Τί δ' ὦ τάλας γε τοῦδ'* (*τάλας τοῦδ'* ABVE Med.) *ἔχει* (*ἔχῃ τοῦ* AVE Med. *ἔχθη* C*V) *πλέκους χρέος; Χρέος κτλ.* bis *λαβεῖν.*

ΔΙΚΑΙΟΠΟΛΙΣ

φεῦ.
εὐδαιμονοίης ὥσπερ ἡ μήτηρ ποτέ.

ΕΤΡΙΠΙΔΗΣ

ἄπελθε νῦν μοι.

ΔΙΚΑΙΟΠΟΛΙΣ

μἀλλά μοι δὸς ἓν μόνον
κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον.

ΕΤΡΙΠΙΔΗΣ

φθείρου λαβὼν τόδ'· ἴσθ' ὀχληρὸς ὢν δόμοις.

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὔπω μὰ Δί' οἶσθ' οἷ' αὐτὸς ἐργάζει κακά.
ἀλλ' ὦ γλυκύτατ' Εὐριπίδη τουτὶ μόνον
δός μοι χυτρίδιον σπογγίῳ βεβυσμένον.

ΕΤΡΙΠΙΔΗΣ

ἄνθρωπ' ἀφαιρήσει με τὴν τραγῳδίαν.
ἄπελθε ταυτηνὶ λαβών.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀπέρχομαι.
καίτοι τί δράσω; δεῖ γὰρ ἑνός, οὗ μὴ τυχὼν
ἀπόλωλ'. ἄκουσον ὦ γλυκύτατ'. Εὐριπίδη·
τουτὶ λαβὼν ἄπειμι κοὐ πρόσειμ' ἔτι·
ἐς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.

ΕΤΡΙΠΙΔΗΣ

ἀπολεῖς μ'. ἰδού σοι. φροῦδά μοι τὰ δράματα.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἀλλ' οὐκέτ', ἀλλ' ἄπειμι· καὶ γάρ εἰμ' ἄγαν
ὀχληρὸς οὐ δοκῶν με κοιράνους στυγεῖν.

---

429 schol. κυλίσκιον δὲ ποτήριον. γράφεται δὲ κυλίκειον. ἀποκεκρουσμένον δὲ ἀποκεκλασμένον. Ath. XI 479 B Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι· κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουμένον. (ἀποκεκομμένον (PVL ἀποκεκρουσμένον epit.) Suid. κύλιξ ... λέγεται δὲ καὶ κυλίκιον (κυλίκειον A) χεῖλος ἀποκεκρουσμένον. — ἀποκεκρουσμένον ... δός μοι Κυλίκιον (κυλίσκιον ABEC Zonaras I 264) τὸ χεῖλος (κυλ. χεῖλος AC Zon.) ἀποκεκρουσμένον. Bekker an. 429.9 (Bachm. I 126 3) κυλίσκιον τ. χ. ἀποκεκρουμένον. οὕτως Ἀριστοφ.

Dikaeopolis.

Weh!
mög' es, wie deiner Mutter einst, dir wohl ergeh'n!

Euripides.

Mach dass du fortkommst!

Dikaeopolis.

Nur um eins noch bitt' ich dich,
um jenes Näpfchen mit dem ausgebroch'nen Rand.

Euripides.

So nimm's, zum Henker! doch nun, wisse, bin ich's satt.

Dikaeopolis.

Fürwahr du weisst nicht, was du selbst für Uebel thust.
Euripides mein süssester, nur dieses noch:
um jenes Töpfchen bitt' ich mit dem Schwamm darin!

Euripides.

Mensch Mensch! die ganze Tragödie schleppst du mir ja fort.
Auch das noch nimm und lauf dann!

Dikaeopolis.

Ja ich gehe schon.
Und doch was thu' ich? eines fehlt mir, ohne das
ist's aus mit mir. Euripides, süsser, höre mich!
bekomm' ich das noch, geh' ich und kehre nicht zurück:
in's Körbchen gib ein wenig trocknes Grünzeug mir.

Euripides.

Du bringst mich um! da, ausgeplündert ist mein Kram.

Dikaeopolis.

Fertig! ich gehe — denn ich bin wohl lange schon
hier lästig, unbekümmert um der Mächt'gen Hass.

Ἀχαρν. Eustath. 1282 59 *κοτυλίσκιον, οὗ μνεία παρὰ Ἀριστοφάνει ἐν τῷ κοτυλίσκιον τ. χ. ἀποκεκρουσμένον.* — 433 Suid. *σπογγιά ... καὶ αὖθις Ἀριστοφάνης· σπογγίᾳ* (σπογγίῳ *V) *βεβυσμένον.* — *βεβυσμένα ... καὶ βεβυσμένον ... Ἀριστοφάνης· δός μοι χυτρίδιον σπογγίῳ β.* — 439 Suid. *φυλλεῖα ... Ἀριστ. εἰς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός* (δὸς φυλλεία *V). Hesych. — 442 schol. *δοκῶν μὲν κοιράνους.*

οἶμοι κακοδαίμων ὡς ἀπόλωλ'. ἐπελαθόμην
ἐν ᾧπέρ ἐστι πάντα μοι τὰ πράγματα.
Εὐριπίδιον ὦ γλυκύτατον καὶ φίλτατον,
κάκιστ' ἀπολοίμην, εἴ τί σ' αἰτήσαιμ' ἔτι
πλὴν ἓν μόνον, τουτὶ μόνον τουτὶ μόνον·
σκάνδικά μοι δὸς μητρόθεν δεδεγμένος.

ΕΥΡΙΠΙΔΗΣ

ἀνὴρ ὑβρίζει. κλεῖε πακτὰ δωμάτων.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦ θύμ', ἄνευ σκάνδικος ἐμπορευτέα.
ἆρ' οἶσθ' ὅσον τὸν ἀγῶν' ἀγωνιεῖ τάχα
μέλλων ὑπὲρ Λακεδαιμονίων ἀνδρῶν λέγειν;
πρόβαινε νῦν ὦ θυμέ· γραμμὴ δ' αὐτηί.
ἕστηκας; οὐκ εἶ καταπιὼν Εὐριπίδην;
ἐπήνεσ'· ἄγε νυν ὦ τάλαινα καρδία,
ἄπελθ' ἐκεῖσε κἄτα τὴν κεφαλὴν ἐκεῖ
παράσχες εἰποῦσ' ἅττ' ἂν αὐτῇ σοι δοκῇ.
τόλμησον, ἴθι χώρησον· ἄγαμαι καρδίας.

ΧΟΡΟΣ

τί δράσεις; τί φήσεις; ἀλλ' ἴσθι νυν
ἀναίσχυντος ὢν σιδηροῦς τ' ἀνήρ·
ὅστις παρασχὼν τῇ πόλει τὸν αὐχένα
ἅπασι μέλλεις εἰς λέγειν τἀναντία.
ἀνὴρ οὐ τρέμει τὸ πρᾶγμ'. εἶά νυν
ἐπειδήπερ αὐτὸς αἱρεῖ, λέγε.

---

445 Suid. φιλτάτιον. ὦ Εὐριπίδιον γλυκύτατον, ὦ φιλτάτιον. (γλυκ. φιλτ. A*V Ox.) — 448 Suid. διασκανδικίσῃς ... καὶ ἀλλαχοῦ σκάνδικά (σκάνδιδα ABEC*V) μοι δὸς μητρόθεν δεδεγμένος. cf. σκάνδιξ. (Hesych. Bekker anecd. 305 19.) — 449 schol. πηκτὰ δωμάτων. Suid. κλεῖε πηκτὰ δωμάτων (σωμάτων BE). —

Weh mir, ich unglückseliger! denn das wichtigste
hab' ich vergessen, worauf mein ganzes Heil beruht.
O liebster allerstüssester Herzens-Euripides,
ich will verdammt sein, fordr' ich das geringste noch,
als dieses eine ganz allein, dies ganz allein:
von deiner Mutter ein bischen Kerbel schenke mir!

Euripides.

Der Mensch verhöhnt mich; (zu dem Diener) schliess des Hauses festen Bau. (verschwindet.)

Dikaeopolis.

So muss ich, liebe Seele, ohne Kerbel fort!
Weisst du, welch schlimmen Kampf du nun zu kämpfen hast,
da für Lakedaemons Männer du jetzt sprechen sollst?
Nur muthig in die Schranken tritt! du stehst am Strich.
Besinnst du dich, und hast Euripides doch im Kopf?
So recht! wohlan nun, du mein viel geprüftes Herz,
mach' auf den Weg dich, und das Haupt leg' unverzagt
dorthin und sage tapfer, was dir selber scheint.
Auf, frisch gewagt, mach vorwärts! o du braves Herz!
(legt den Kopf auf den Block.)

Zwölfte Scene. Der Chor. Dikaeopolis.

Chor.

Was thust du, was sagst du? Mensch, bist du ganz
verstockt denn und eisern, ganz ohne Scham?
Den eignen Nacken bietest du der Vaterstadt
und widerstrebst der ganzen Bürgerschaft allein?
Er scheut wirklich nicht das Wagstück; nun gut,
da du selbst es willst, so sprich; fang nur an!

---

453 Suid. γραμμή ... Ἀριστοφάνης· γραμμὴ δ' αὐτή. Zon. I 452 γραμμή ... Ἀρ. προβαίνε δὴ νῦν ὦ θυμέ, γρ. δ' αὐτή. — 458 Suid. ἄγαμαι καρδίας. Zon. I 34. — 460 Suid. ἀναίσχυντος καὶ σιδηροῦς ἄνθρωπος. — 464 Suid. αἰρῇ. βούλει. ἐπείπερ αὐτὸς (καὐτὸς E) αἱρῇ λέγειν. Zon. I 93.

ΔΙΚΑΙΟΠΟΛΙΣ

μή μοι φθονήσητ' ἄνδρες οἱ θεώμενοι,
εἰ πτωχὸς ὢν ἔπειτ' ἐν Ἀθηναίοις λέγειν
μέλλω περὶ τῆς πόλεως, τρυγῳδίαν ποιῶν·
τὸ γὰρ δίκαιον οἶδε καὶ τρυγῳδία.
ἐγὼ δὲ λέξω δεινὰ μέν, δίκαια δέ.
οὐ γάρ με νῦν γε διαβαλεῖ Κλέων, ὅτι
ξένων παρόντων τὴν πόλιν κακῶς λέγω.
αὐτοὶ γάρ ἐσμεν οὐπὶ ληναίῳ τ' ἀγών,
κοὔπω ξένοι πάρεισιν· οὔτε γὰρ φόροι
ἥκουσιν οὔτ' ἐκ τῶν πόλεων οἱ ξύμμαχοι·
ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι·
τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν λέγω.
ἐγὼ δὲ μισῶ μὲν Λακεδαιμονίους σφόδρα,
καὐτοῖς ὁ Ποσειδῶν οὑπὶ Ταινάρῳ θεὸς
σείσας ἅπασιν ἐμβάλοι τὰς οἰκίας·
κἀμοὶ γάρ ἐστι τἀμπέλια κεκομμένα·
ἀτὰρ — φίλοι γὰρ οἱ παρόντες ἐν λόγῳ —
τί ταῦτα τοὺς Λάκωνας αἰτιώμεθα;
ἡμῶν γὰρ ἄνδρες — οὐχὶ τὴν πόλιν λέγω·
μέμνησθε τοῦθ', ὅτι οὐχὶ τὴν πόλιν λέγω·
ἀλλ' ἀνδράρια μοχθηρὰ παρακεκομμένα
ἄτιμα καὶ παράσημα καὶ παράξενα
ἐσυκοφάντει Μεγαρέων τὰ χλανίσκια·
κεἴ που σίκυον ἴδοιεν ἢ λαγῴδιον
ἢ χοιρίδιον ἢ σκόροδον ἢ χόνδρους ἅλας,
ταῦτ' ἦν μεγαρικὰ κἀπέπρατ' αὐθημερόν.
καὶ ταῦτα μὲν δὴ σμικρὰ κἀπιχώρια·

---

465 vgl. Gregor. Cor. dial. 140 οἱ θεώμενοι ἀντὶ τοῦ θεαταί. — 467 f. Suid. τρυγῳδία. — 471 Plut. Mor. p. 71 D Ἀριστοφάνης δὲ καὶ τὸν Κλέωνα τοῦτο ἐγκαλεῖν φησιν, ὅτι ξένων παρόντων τὴν πόλιν κακῶς λέγει. — 472 Hesych. ἐπὶ ληναίῳ ἀγών. Suid. ἐπὶ ληναίῳ. — 475 Poll. VII 24 καὶ τὸ παρ' Ἀριστοφάνει δὲ ἐν Ἀχαρνεῦσι περιεπτισμένοι ἀπὸ τούτου ἂν εἴη εἰρημένον· ἀλλ' ἐσμὲν κτλ. Suid. περιεπτισμένοι ... Ἀριστοφάνης· ἀλλ' ἐσμὲν (οἱ μὲν A εἶμεν *V) αὐτοὶ (αὐτοὶ ἐσμὲν Med.) νῦν γε π. — 476 Suid. μέτοικοι ... Ἀριστοφάνης· τοὺς γὰρ μετοίκους ἄχυρα τῶν ἀστῶν (κριθῶν V) λέγω. — 478 f. Suid. Ταίναρον ... Ἀριστοφάνης· αὐτοῖς ὁ Πο-

Dikaeopolis.

Sei nicht beleidigt, hochgeehrtes Publicum,
wenn ich als Bettler unter Athenern von dem Staat
zu reden wag', und in der Komödie noch dazu —
denn was gerecht ist, weiss auch die Komödie —;
zwar schlimm wird meine Rede, doch gerecht nur sein.
Nicht soll mich Kleon wiederum verleumden, dass
ich vor den Fremden übles spreche von dem Staat,
denn unter uns ja sind wir, im Lenaeenspiel;
die Fremden fehlen, da jetzt weder Gelder noch
Gesandte der Verbündeten gekommen sind;
ja heut sitzt im Theater nur enthülstes Korn,
wenn die Metoeken man Spreu der Bürger nennen kann.
Das Volk der Sparter, gründlich ist es mir verhasst:
Poseidon der Gott von Taenaron begrabe sie,
so wünsch' ich, in ihrer Häuser Schutt mit einem Stoss —
auch mir sind ja die Rebenstöckchen abgehau'n —;
allein da Freunde meiner Worte Zeugen sind,
was geben wir diese Dinge den Lakonen schuld?
Nein Männer in unsrer Mitte — nicht das Volk etwa,
bemerkt es wohl, ich meine nicht das ganze Volk —
elende Wichte, Menschen von gemeinem Schlag,
ehrlos, unecht Gesindel zweifelhaften Stamms,
die spürten den wollnen Mänteln nach von Megara,
und wo sie ein Häslein oder eine Gurke sah'n,
ein Schweinchen oder Knoblauch oder ein Körnchen Salz,
megarisch war's und ward verkauft denselben Tag.
Das war nur unbedeutend und schon hergebracht;

σειδῶν οὐπὶ Ταινάρου (Ταινάρῳ A) θεὸς Σείσας κτλ. — 480 Suid. *παρακεκομμένα. κάμοὶ γάρ ἐστιν ἀμπέλια παρακεκομμένα.* — 485 f. Suid. *παρακεκομμένα . . . ἀνδράρια μοχθηρὰ παρακ. Ἄτιμα καὶ π. κ. π.* Hesych. *παρακεκομμένον. ἄνανδρον.* — 488 schol. Pac. 1001 *ὡς καὶ τῶν σικύων δὲ πολλῶν ὄντων ἐν Μεγαρίδι καὶ φερομένων ἐκεῖθεν εἰς τὴν Ἀττικήν, ὡς καὶ αὐτὸς ἐν Ἀχαρνεῦσί φησιν.* Suid. *σίκυον . . . Ἀριστοφάνης· κεἴ που σίκυον ἴδοιεν ἢ λαγώδιον.* — 491 Hesych. *ἐπιχώρια. συκοφαντικά. εἰς τοῦτο γὰρ Ἀθηναίοι κωμῳδοῦνται.* Suid. *συκοφαντεῖν . . . Ἀριστοφάνης· καὶ ταῦτα μὲν δὴ κτλ.*

πόρνην δὲ Σμαίθαν ἰόντες Μέγαράδε
νεανίαι κλέπτουσι μεθυσοκότταβοι·
κᾆθ' οἱ Μεγαρῆς ὀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο·
κἀκεῖθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
ἐντεῦθεν ὀργῇ Περικλέης οὐλύμπιος
ἤστραπτ' ἐβρόντα ξυνεκύκα τὴν Ἑλλάδα,
ἐτίθει νόμους ὥσπερ σκόλια γεγραμμένους,
ὡς χρὴ Μεγαρέας μήτε γῇ μήτ' ἐν ἀγορᾷ
μήτ' ἐν θαλάττῃ μήτ' ἐν ἠπείρῳ μένειν.
ἐντεῦθεν οἱ Μεγαρῆς, ὅτε δὴ 'πείνων βάδην,
Λακεδαιμονίων ἐδέοντο, τὸ ψήφισμ' ὅπως
μεταστραφείη τὸ διὰ τὰς λαικαστρίας.
οὐκ ἠθέλομεν δ' ἡμεῖς δεομένων πολλάκις·

492—495 Plut. Per. 30 *Μεγαρεῖς δὲ τὸν Ἀνθεμοκρίτου φόνον ἀπαρνούμενοι τὰς αἰτίας εἰς Ἀσπασίαν καὶ Περικλέα τρέπουσι χρώμενοι τοῖς περιβοήτοις καὶ δημώδεσι τούτοις ἐκ τῶν Ἀχαρνέων στίχοις· πόρνην δὲ κτλ.* bis *πόρνας δύο.* schol. Pac. 502 *αἰτίαν εἶχον οἱ Μεγαρεῖς ὡς ἀρχηγοὶ γενέσθαι τοῦ πολέμου διὰ τὴν ἁρπαγὴν τῶν πορνῶν Ἀσπασίας καὶ τὴν ἐπὶ τούτοις ὀργὴν Περικλέους καὶ τὸ ψήφισμα, ὡς ἐν Ἀχαρνεῦσί φησιν.* — 492—497 Ath. XIII 570 A *ὡς καὶ ὁ χαρίεις Ἀριστοφάνης παρασημαίνεται, ὅτι Περικλῆς διὰ τὸν Ἀσπασίας ἔρωτα καὶ τὰς ἁρπασθείσας ἀπ' αὐτῆς θεραπαίνας ὑπὸ Μεγαρέων τὸ δεινὸν ἀνερρίπισε· πόρνην δὲ ... μεθυσοκότταβοι. Κᾆθ'* (εἶθ' PVL) *οἱ ... πόρνας δύο* (δύω A)· *Κἀκεῖθεν* (κἀντεῦθεν L) *ἀρχὴ κτλ.* bis *λαικαστριῶν.* — 492 Phot. Hesych. Suid. *Σιμαίθα.* — 493 Suid. *μεθυσοκότταβοι.* (cf. *κότταβος.* Paroem. II 521 11.) — 494 f. Suid. *πεφυσιγγωμένοι ... Ἀριστοφάνης· κᾆθ' οἱ Μεγαρεῖς ὀδ. πεφ. Ἀντεξέκλεψαν Ἀσπασίας.* Phot. 427 17. Hesych. — 495 Harpocr. 37 13 *δοκεῖ δὲ* (Aspasia) *δυοῖν πολέμων αἰτία γεγονέναι, τοῦ τε σαμιακοῦ καὶ τοῦ πελοποννησιακοῦ, ὡς ἔστι μαθεῖν — καὶ ἐκ τῶν Ἀριστοφάνους Ἀχαρνέων.* (Suid. *Ἀσπασία.*) vgl. Plut. Mor. 855 F *ὥσπερ οἱ κωμικοὶ τὸν πόλεμον ὑπὸ τοῦ Περικλέους ἐκκεκαῦσθαι δι' Ἀσπασίαν ἢ διὰ Φειδίαν ἀποφαίνοντες.* — 497 (505) schol. Equ. 167 *λαικάσεις — ὅθεν καὶ λαικάστρια ἡ πόρνη.* Choerobosc. in Cramer. anecd. Ox. II 178 16 *λεκάστρια. σημαίνει δὲ τὴν πόρνην.* (Theognost. ibid. 98 25. Eustath. 741 26. Suid. *λαικαστής.* Hesych. in marg. Zon. II 1287.) — 498 f. Diod. Sic. XII 40 *καὶ πάλιν ἐν ἄλλοις* [*Εὔπολις ὁ ποιητὴς*] *Περικλέης οὐλύμπιος Ἥστραπτ' ἐβρόντα συνεκύκα τὴν Ἑλλάδα.* — 499 Plut.

doch einmal raubten junge Leute, vom Kottabos
erhitzt, ein Weibstück, Simaetha genannt, aus Megara:
die Megarer drauf, vor Schmerz gehetzten Hähnen gleich,
entführten wieder zwei Menscher der Aspasia,
und so brach von drei liederlichen Dirnen bloss
über alle Griechen dieser schwere Krieg herein.
Da blitzt' und donnerte Perikles der Olympier
in seinem Zorn, und Hellas regt' er auf zum Sturm,
und liess dann ein Gesetz ergeh'n im Skolienstil,
von Land und Markt sei jeder Megarer abzuthun
und nicht zu dulden auf dem Festland und der See.
Da nun den Megarern allgemach der Hunger kam,
so lagen sie den Spartanern an, dass der Beschluss
doch aufgehoben würde wegen des Hurenpacks;
so viel sie aber baten, abgeschlagen ward's,

Per. VIII 2 *αἱ μέντοι κωμῳδίαι τῶν τότε διδασκάλων — ἐπὶ τῷ λόγῳ μάλιστα τὴν προσωνυμίαν* (Olympii) *γενέσθαι δηλοῦσι, βροντᾷν μὲν αὐτὸν καὶ ἀστράπτειν, ὅτε δημηγοροίη κτλ.* Aristid. II 137 4 *νῦν δὲ πῶς ἔνεστι κατηγορεῖν δειλίαν, οὗ τἀναντία ἤδη τινὲς ἠτιάσαντο; ἃ γοῦν τῆς Ἀριστοφάνους κωμῳδίας παρεθέμεθα ἀρτίως ἐκείνως ἔχοντα, λέγω τὸ ἤστραπτεν ἐβρ. συνεκύκα τ. Ἑλλάδα, Ἐτίθει ν. ὦ. σ. γ., Ὡς χρὴ Μεγαρέας.* Iulian. epist. 2 (p. 374 A) *ζηλοῦντα τὸν Περικλέα κατὰ τοὺς λόγους ἔξω τοῦ συνταράττειν καὶ συγκυκᾶν τὴν Ἑλλάδα.* Georg. Cedren. I 336 B *ὁ δὲ τούτου τροφεὺς Ἀντίοχος κατὰ τὴν κωμῳδίαν ἤστραπτεν ἐβρόντα συνεκύκα τ. Ἑ.* Suid. *Σαλμωνεύς ... ὃς ἀσεβὴς γεγονὼς διὰ μηχανῆς ἤστραπτεν ἐβρόντα συνεκύκα τὰς τῶν ὑπηκόων ψυχάς.* Cic. or. IX 29 qui si tenui genere uteretur, numquam ab Aristophane poeta fulgere tonare permiscere Graeciam dictus esset. Plin. epist. I 20 adde quae de eodem Pericle comicus alter, *ἤστραπτ' ἐβρόντα συνεκύκα τ. Ἑ.* non enim amputata oratio et abscisa, sed lata et magnifica et excelsa tonat fulgurat, omnia denique perturbat ac miscet. Quinctil. XII 10 65 hanc vim et celeritatem in Pericle miratur Eupolis, hanc fulminibus Aristophanes comparat. — 500 Suid. *σκολιόν ... καὶ αὖθις· νόμους ἐτίθει ὥσπερ σκολιὰ γεγραμμένους.* — 501 f. Paroem. II 740 66° *ὡς χρὴ Μεγαρέας μήτ' ἐν γῇ μήτ' ἐν ἀγορᾷ Μήτ' ἐν θ. μ. ἐν ἡ. μένειν. Ἀριστοφάνους Ἀχαρνέων.* — 503 f. Suid. *βάδην ... Ἀριστοφάνης· Μεγαρεῖς, ὅτ' ἐκείνων βάδην, Λακεδαιμονίων ἐδέοντο.*

κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
ἐρεῖ τις, οὐ χρῆν· ἀλλὰ τί ἐχρῆν εἰπατε.
φέρ' εἰ Λακεδαιμονίων τις ἐκπλεύσας σκάφει
ἀπέδοτο φήνας κυνίδιον Σεριφίων,
καθῆσθ' ἂν ἐν δόμοισιν; ἦ πολλοῦ γε δεῖ.
καὶ κάρτα μέντἂν εὐθέως καθείλκετε
τριακοσίας ναῦς· ἦν δ' ἂν ἡ πόλις πλέα
θορύβου στρατιωτῶν, περὶ τριηράρχου βοῆς,
μισθοῦ διδομένου, παλλαδίων χρυσουμένων,
στοᾶς στεναχούσης, σιτίων μετρουμένων,
ἀσκῶν, τροπωτήρων, κάδους ὠνουμένων,
σκορόδων, ἐλαῶν, κρομμύων ἐν δικτύοις,
στεφάνων τριχίδων αὐλητρίδων ὑπωπίων·
τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,
τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων,
αὐλῶν κελευστῶν, νιγλάρων, συριγμάτων.
ταῦτ' οἶδ' ὅτι ἂν ἑδρᾶτε· τὸν δὲ Τήλεφον
οὐκ οἰόμεσθα; νοῦς ἄρ' ἡμῖν οὐκ ἔνι.

ΗΜΙΧΟΡΙΟΝ Α

ἆληθες ὦπίτριπτε καὶ μιαρώτατε;
ταυτὶ σὺ τολμᾷς πτωχὸς ὢν ἡμᾶς λέγειν;
καὶ συκοφάντης εἴ τις ἦν, ὠνείδισας;

ΗΜΙΧΟΡΙΟΝ Β

νὴ τὸν Ποσειδῶ, καὶ λέγει γ' ἅπερ λέγει
δίκαια πάντα, κοὐδὲν αὐτῶν ψεύδεται.

ΗΜΙΧΟΡΙΟΝ Α

εἶτ' εἰ δίκαια, τοῦτον εἰπεῖν αὖτ' ἐρχῆν;
ἀλλ' οὔτι χαίρων ταῦτα τολμήσει λέγειν.

ΗΜΙΧΟΡΙΟΝ Β

οὗτος σὺ ποῖ θεῖς; οὐ μενεῖς; ὡς εἰ θενεῖς
τὸν ἄνδρα τοῦτον, αὐτὸς ἀρθήσει τάχα.

---

509 schol. φέρ' εἰ καὶ Λ. — 510 Suid. φήνας. — 511 Suid. ἦ πολλοῦ γε δεῖ. — 512 ff. schol. ABL Hom. B 153 αὐτὴ δ' οὐρανὸν ἶκεν· μεγαλοφυῶς ἡ λέξις ηὔξησε τὴν ταραχήν, ἣν κατελεπτολόγησεν Ἀρ. ἐν Ἀχαρνεῦσιν. — 515 Suid. παλλαδίων χρυσουμένων. — 518

und daraus nun entstand der tolle Waffenlärm.
Man spricht: das war nicht nöthig; aber was denn sonst?
Gesetzt ein Sparter, kreuzend auf der See, verkauft
ein Hündchen von Seriphos, das er aufgebracht;
blíebt ihr dann etwa ruhig heim? o weit gefehlt!
Ihr zögt gewiss dreihundert Schiffe gleich in's Meer,
mit Kriegsgeschrei erfüllte sich die Stadt sofort,
von nichts als von Trierenrüstung spräche man,
von Löhnung, auszubessernden Palladien,
gefüllten Speichern, abgemess'nem Proviant,
von Schläuchen, Ruderriemen, wer Gefässe kauft,
von Knoblauch, von Oliven, Zwiebeln in dem Netz,
von Kränzen, Sprotten, Flötenmädchen, Beulen auch,
und auf den Werften würden Ruder zugehau'n,
Nägel gehämmert und die Ruder eingehängt,
von Flöten-Kommando, Pfeifen, Blasen dröhnt' es dort.
Das alles, weiss ich, thätet ihr: und Telephos —
dem sollt's verwehrt sein? o Verblendung ohne Mass!

Erster Halbchor.

Ist's möglich? ha nichtswürd'ger und verruchter Mensch!
als Bettler wagst du solche Worte hier zu uns,
und das Geschäft der Sykophanten lästerst du?

Zweiter Halbchor.

Ja bei Poseidon! und was er gesprochen hat,
ist alles richtig; Unwahrheiten sagt er nicht.

Erster Halbchor.

Und wenn es richtig, muss er's deshalb öffentlich
auch sagen? schlecht bekommt ihm die Verwegenheit.

(eilt auf Dikaeopolis zu.)

Zweiter Halbchor.

(dem ersten entgegen tretend.)

Wohin so schnell, Freund? bleibe steh'n! denn schlägst du mir
den Patrioten, dann sieh du dich selber vor.

Suid. *σκοροδίοις . . . καὶ παροιμία σκόροδον ἐν δικτύοις.* — 521 Hesych. *τύλον.* schol. *Θαλαμίων δὲ τῶν ναυτῶν.* — 522 Phot. Suid. *νίγλαροι.* — 532 Phot. 436 25 *ποῖ θεῖς.*

ΗΜΙΧΟΡΙΟΝ Α

ἰὼ Λάμαχ' ὦ βλέπων ἀστραπάς,
βοήθησον ὦ γοργολόφα φανείς·
ἰὼ Λάμαχ' ὦ φίλ' ὦ φυλέτα.
εἴτε τις ἔστι ταξίαρχος ἢ στρατηγὸς ἢ
τειχομάχας ἀνήρ, βοηθησάτω
τις ἀνύσας· ἐγὼ γὰρ ἔχομαι μέσος.

ΛΑΜΑΧΟΣ

πόθεν βοῆς ἤκουσα πολεμιστηρίας;
ποῖ χρὴ βοηθεῖν, ποῖ κυδοιμὸν ἐμβαλεῖν;
τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος;

ΔΙΚΑΙΟΠΟΛΙΣ

ω Λάμαχ' ἥρως, τῶν λόφων καὶ τῶν λόχων.

ΗΜΙΧΟΡΙΟΝ Α

ὦ Λάμαχ', οὐ γὰρ οὗτος ἄνθρωπος πάλαι
ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ;

[ΛΑΜΑΧΟΣ

οὗτος σὺ τολμᾷς πτωχὸς ὢν λέγειν τάδε;]

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὦ Λάμαχ' ἥρως, ἀλλὰ συγγνώμην ἔχε,
εἰ πτωχὸς ὢν εἶπόν τι κἀστωμυλάμην.

ΛΑΜΑΧΟΣ

τί δ' εἶπας ἡμᾶς; οὐκ ἐρεῖς;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐκ οἶδά πω·

---

535 Hesych. γοργολόφας. ἀπὸ τοῦ λόφου τῆς περικεφαλαίας καὶ τῆς ἀσπίδος. Γοργόνα [δὲ λέγει], ἣν ἐπ' αὐτῆς εἶχεν ὁ Λάμαχος, ἵνα τὸν Λάμαχον εἴπῃ. — 539 Suid. μέσον . . . ἐγὼ δ' ἔχομαι μέσος (μέσως BE). — 542 Poll. VII 157 καὶ λοφοπωλεῖον δὲ ὁ αὐτὸς εἴρηκεν, καὶ σάγμα τὸ ἔλυτρον τὸ τῆς ἀσπίδος. (Hesych. Phot. 495 26.) Suid.

Erster Halbchor.

Herbei Lamachos, den Blitz in dem Aug'!
o hilf uns, mit deinem Gorgonenhelm!
herbei, Stammgenosse, Freund Lamachos!
Heran, Rottenführer, und wer Kriegeshauptmann heisst,
wer Burgstürmer ist, zum Schutz nah' er mir!
Ach ich erliege. Weh! man packt schon mich an.

Dreizehnte Scene. Die Vorigen. Lamachos kommt in voller Rüstung aus seinem Hause.

Lamachos.

Von wo vernahm ich kriegerischen Waffenruf?
wo soll ich helfen, wo mit Schlachtgetümmel nah'n?
wer hat die Gorgo aus dem Ueberzug geweckt?

Dikaeopolis.

Husch husch! wie schön, Held Lamachos, steht dir der Busch!

Erster Halbchor.

O Lamachos, der Mensch hier — stelle dir nur vor —
er schmäht den ganzen Staat Athens schon lange Zeit.

Lamachos.

Du Bettler unterfängst dich solcher Lästerung?

Dikaeopolis.

Held Lamachos, Verzeihung meiner Dreistigkeit,
wenn ich als Bettler was zu schwatzen mir erlaubt!

Lamachos.

Was war's denn? nur heraus damit!

Dikaeopolis.

Ich weiss es nicht;

σάγμα . . . Ἀριστοφάνης Ἀχαρνεῦσι τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος; Et. M. 707 22 **σάγμα παρὰ Ἀριστοφάνει ἀποθήκη τῶν ὅπλων.* — 545 Suid. *κακορροθεῖ . . . Ἀριστοφάνης ἅπασαν ἡμῶν τὴν πόλιν κ.* Hesych. — 547 f. Suid. *ἐστωμυλάμην* (Zon. I 886) . . . *Ἀριστοφάνης συγγνώμην ἔχε, Εἰ πτωχὸς ὢν εἰπόν τι κἀσε.* —

ὑπὸ τοῦ δέους γὰρ τῶν ὅπλων εἰλιγγιῶ.
ἀλλ' ἀντιβολῶ σ' ἀπένεγκέ μου τὴν μορμόνα.

ΛΑΜΑΧΟΣ

ἰδού.

ΔΙΚΑΙΟΠΟΛΙΣ

παράθες νυν ὑπτίαν αὐτὴν ἐμοί.

ΛΑΜΑΧΟΣ

κεῖται.

ΔΙΚΑΙΟΠΟΛΙΣ

φέρε νυν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν.

ΛΑΜΑΧΟΣ

τουτὶ πτίλον σοι.

ΔΙΚΑΙΟΠΟΛΙΣ

τῆς κεφαλῆς νύν μου λαβοῦ,
ἵν' ἐξεμέσω· βδελύττομαι γὰρ τοὺς λόφους.

ΛΑΜΑΧΟΣ

οὗτος τί δράσεις; τῷ πτίλῳ μέλλεις ἐμεῖν;
πτίλον γάρ ἐστιν —

ΔΙΚΑΙΟΠΟΛΙΣ

εἰπέ μοι τίνος ποτὲ
ὄρνιθός ἐστιν; ἆρα κομπολακύθου;

ΛΑΜΑΧΟΣ

οἴμ' ὡς τεθνήξεις.

ΔΙΚΑΙΟΠΟΛΙΣ

μηδαμῶς ὦ Λάμαχε.
ἀλλ' οὐ κατ' ἰσχύν ἐστιν· εἰ δ' ἰσχυρὸς εἶ,
τί μ' οὐκ ἀπεψώλησας; εὔοπλος γὰρ εἶ.

---

550 schol. ἰλιγγιῶ, nachher φασὶ δ' ὅτι τὸ μὲν ῥῆμα διφθογγογραφεῖται, τὸ δ' ὄνομα διὰ τοῦ ἰῶτα ἴλιγγος. Suid· εἰλιγγιῶ (Zon. I 645) ... ὑπὸ τοῦ δέους γὰρ εἰλιγγιῶ. vgl. ἰλιγγιᾷ. Hesych. εἰλιγγιᾶν. εἰλιγγιῶν. ἰλιγγιᾶν. — 551 Suid. μορμώ ... Ἀριστοφάνης ἀντιβολῶ σ' ἀπένεγκέ μου (απένεγκαί μου Med.) τὴν μορμόνα. — 553 Suid.

die Furcht vor deiner Rüstung hat mich ganz verwirrt.
Lass dich erbitten, ach entferne das Gespenst!

Lamachos.
(legt den Schild ab.)

Ist's gut so?

Dikaeopolis.

Auf den Rücken, bitt' ich, leg' es hin.

Lamachos.

Auch das!

Dikaeopolis.

Nun gib ein Federchen mir von deinem Helm.

Lamachos.

Hier nimm den Flaum.

Dikaeopolis.

Hält'st du mir jetzt vielleicht den Kopf,
damit ich breche? von dem Helmbusch wird mir schlimm.

Lamachos.

Mensch, bist du toll? zum Brechen wolltest du den Flaum?
Das ist ein Flaum —

Dikaeopolis.

Von welchem Vogel, sage mir,
ist er genommen? wohl vom Prahlhahn, hab' ich Recht?

Lamachos.

Das soll'st du büssen, Schlingel.

Dikaeopolis.

Gnade, Lamachos!
unwürdig wär' es deiner. Doch bist du so stark,
mach' einen Streifzug gegen mich, gewappneter!

φέρε νῦν ἀπὸ τοῦ κράνους μοι τὸ πτερόν. — 558 Suid. *κομπολακύθου.* Etym. M. 526 41 **κομπολακύθης. ὄνομα ὀρνέου παρὰ Ἀριστοφάνει.* — 559 schol. *οἶμ' ὡς τεθνήσει: τὸ τέλειόν ἐστιν οἴμαι.* Suid. *τεθνήσῃ . . . οἴμ' ὡς τεθνήσῃ.*

ΛΑΜΑΧΟΣ

ταυτὶ λέγεις σὺ τὸν στρατηγὸν πτωχὸς ὤν;

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἐγὼ γάρ εἰμι πτωχός;

ΛΑΜΑΧΟΣ

ἀλλὰ τίς γὰρ εἶ;

ΔΙΚΑΙΟΠΟΛΙΣ

ὅστις; πολίτης χρηστός, οὐ σπουδαρχίδης,
ἀλλ' ἐξ ὅτου περ ὁ πόλεμος, στρατωνίδης,
σὺ δ', ἐξ ὅτου περ ὁ πόλεμος, μισθαρχίδης.

ΛΑΜΑΧΟΣ

ἐχειροτόνησαν γάρ με.

ΔΙΚΑΙΟΠΟΛΙΣ

κόκκυγές γε τρεῖς.
ταῦτ' οὖν ἐγὼ βδελυττόμενος ἐσπεισάμην,
ὁρῶν πολιοὺς μὲν ἄνδρας ἐν ταῖς τάξεσιν,
νεανίας δ' οἷος σὺ διαδεδρακότας
τοὺς μὲν ἐπὶ Θρᾴκης μισθοφοροῦντας τρεῖς δραχμάς,
Τισαμενοφαινίππους Πανουργιππαρχίδας,
ἑτέρους δὲ παρὰ Χάρητι, τοὺς δ' ἐν Χάοσιν,
Γερητοθεοδώρους Διομειαλαζόνας,
τοὺς δ' ἐν Καμαρίνῃ κἀν Γέλᾳ κἀν Καταγέλᾳ.

ΛΑΜΑΧΟΣ

ἐχειροτονήθησαν γάρ.

ΔΙΚΑΙΟΠΟΛΙΣ

αἴτιον δὲ τί,
ὑμᾶς μὲν ἀεὶ μισθοφορεῖν ἀμηγέπῃ,
τωνδὶ δὲ μηδέν'; ἐτεὸν ὦ Μαριλάδη,
ἤδη πεπρέσβευκας σὺ πολιὸς ὤν; ἔνη;

---

564 Phrynichus Bekk. an. 63 18 *σπουδαρχίδης. σημαίνει τὸν σπεύδοντα ἐπὶ τὰς ἀρχάς.* Suid. *σπουδαρχιάσας . . . καὶ σπουδαρχίδης.* — 566 Hesych. Phot. 271 22 *μισθαρχίδης.* — 567 Hesych. *κόκκυγες* [*γ'* add. *L. Dindorf*]. *ἐπὶ ὑπονοηθέντων πλειόνων εἶναι, καὶ ὀλίγων ὄντων.* — 572 Suid. *Τισαμενοφαινίππους. — πανοῦργος . . . καὶ Πανουργιππαρχίδας.* Et. M. 760 4 * *Τισαμενοφαινίππους. εἶπεν Ἀριστοφάνης.* — 574 Suid. *Διόμεια . . . Ἀριστοφάνης . . . καὶ*

Lamachos.

Das sagst du mir dem Feldherrn, Bettler, von Athen?

Dikaeopolis.

Seit wann bin ich denn Bettler?

Lamachos.

Nun was bist du denn?

Dikaeopolis.

Ein guter Bürger, und nicht ein Stellenjägersmann,
vielmehr von Anbeginn des Kriegs ein Landwehrmann,
doch du von Anbeginn des Kriegs ein Söldnersmann.

Lamachos.

Es wählte mich die Stimme.

Dikaeopolis.

Von drei Gimpeln wohl.
Darüber eben mich ärgernd macht' ich meinen Pact,
da ich ergraute Männer mit der Pike sah,
und junge Leute, wie du, entwischt — wer weiss wohin,
nach Thrake für drei Drachmen, einen Tisamenos,
so einen Phaenippos und Gauner wie Hipparchides,
und andre zum Chares oder zu den Chaonern,
Geres, Theodoros, von Diomeia Schwindlervolk,
nach Kamarina, Gela und nach Hohngelach.

Lamachos.

Das Volk hat sie erwählet.

Dikaeopolis.

Aber wie kommt es denn,
dass ihr fortwährend irgendwo Solddienste thut,
von diesen niemals einer? (wendet sich an den Chor.) Sprich Marilades,
warst du bei deinen Jahren schon Gesandter wo?

Διομειαλαζόνας λέγει. — πανοῦργος ... καὶ τὸν γέροντα καὶ τὸν φαλακρόν, καὶ τὸν Θεόδωρον. Διομειαλαζόνας δὲ κτλ. vgl. Et. M. 277 21. — 577 schol. *ἀμηγέπου.* Suid. *ἀμηγέπη ... Ἀριστοφάνης ὑμᾶς μὲν αἰεὶ (ἀεὶ Bernh.) μισθ. ἀμηγέποι.* — 578 Suid. *Μαριλάδης.* — 579 Suid. *ἐνή ... Ἀριστοφάνης Ἀχαρνεῦσιν ἤδη πεπρέσβευκας σὺ πολιὸς ὢν ἔνη;* (ἔν ἡ AV Med.)

ἀνένευσε· καίτοι γ' ἐστὶ σώφρων κἀργάτης.
τί δαὶ Δράκυλλος ἢ Εὐφορίδης ἢ Πρινίδης;
εἶδέν τις ὑμῶν τἀκβάταν' ἢ τοὺς Χάονας;
οὔ φασιν· ἀλλ' ὁ Κοισύρας καὶ Λάμαχος,
οἷς ὑπ' ἐράνου τε καὶ χρεῶν πρώην ποτὲ
ὥσπερ ἀπόνιπτρον ἐκχέοντες ἑσπέρας
ἅπαντες ἐξίστω παρῄνουν οἱ φίλοι.

ΛΑΜΑΧΟΣ

ὦ δημοκρατία ταῦτα δῆτ' ἀνασχετά;

ΔΙΚΑΙΟΠΟΛΙΣ

οὐ δῆτ' ἐὰν μὴ μισθοφορῇ γε Λάμαχος.

ΛΑΜΑΧΟΣ

ἀλλ' οὖν ἐγὼ μὲν πᾶσι Πελοποννησίοις
ἀεὶ πολεμήσω καὶ ταράξω πανταχῇ
καὶ ναυσὶ καὶ πεζοῖσι κατὰ τὸ καρτερόν.

ΔΙΚΑΙΟΠΟΛΙΣ

ἐγὼ δὲ κηρύττω γε Πελοποννησίοις
ἅπασι καὶ Μεγαρεῦσι καὶ Βοιωτίοις
πωλεῖν ἀγοράζειν πρὸς ἐμέ, Λαμάχῳ δὲ μή.

---

583 Suid. *Κοισύρα . . . Λάμαχος.* — 584 schol. *οἷς ὑπὲρ ἐράνου.* vgl. 617 *ὑπό τε ἐράνων καὶ ὀφλημάτων.* — 585 Poll. VII 40 *τὸ δὲ τῶν ποδῶν νίπτρον νίπτρα μὲν Αἰσχύλος, Ἀριστοφάνης δὲ ἀπόνιπτρον.* Phryn. 193 Lob. *νίμμα ὁ πολὺς λέγει, ἡμεῖς ἀπόνιπτρον λέγομεν, ὡς Ἀριστοφάνης καὶ οἱ ἀμφ' αὐτόν.* (Thom. M. 3 16.) Ath. IX 409 F *Ἀριστοφάνης· ὥσπερ ἀ. ἐγχέοντες ἑ.* Suid. *ἀπόνιπτρον . . . Ἀριστοφ.*

'Nein', und verständig ist er doch und arbeitsam.
Drakyllos, sag', Euphorides und Prinides,
habt ihr Ekbatana und Chaonien wohl geseh'n?
Sie sagen nein! doch Koesyra's Sohn und Lamachos,
sie kennen's, denen auf Anlass unbezahlter Schuld,
wie wenn man spät das Becken auf die Strasse leert,
noch jüngst die Freund' entgegen riefen: nicht zu nah'!

Lamachos.

O Demokratie, ganz unerträglich ist ja das!

Dikaeopolis.

Wie immer, wenn Lamachos nicht Geld verdienen kann.

Lamachos.

Ich werde stets mit allen Peloponnesiern
Krieg führen, und mit allen Kräften tüchtig sie
in Athem setzen, sei's zu Lande, sei's zur See.

Dikaeopolis.

Ich aber verkünde jetzt den Peloponnesiern
allinsgesamt, Boeotern auch und Megarern
mit mir die Handelsfreiheit, Lamachos schliess' ich aus.

(beide ab.)

ὥσπερ ἀ. ἐκχέοντες ἑ. (Hesych.) Eustath. 1867 26 *ποδάνιπτρα δὲ ἢ αὐτὴν λέγει τὴν νίψιν τῶν ποδῶν ἢ τὸ ὕδωρ, ᾧ πόδας νίπτονται, ὃ καὶ ἀπόνιπτρον ἔλεγον, ὡς καὶ ὁ κωμικὸς ἐν Ἀχαρνεῦσι δηλοῖ.* — 586 schol. *ἅπαντες ἐξίστων*, nachher *παίζει οὖν πρὸς τὸ ἐξίστω ὄνομα.* — 591 Suid. *κατὰ τὸ καρτερόν . . . Ἀριστοφάνης καὶ ναυσὶ κτλ.*

ΧΟΡΟΣ

595 ἀνὴρ νικᾷ τοῖσι λόγοισιν καὶ τὸν δῆμον μεταπείθει
περὶ τῶν σπονδῶν. ἀλλ' ἀποδύντες τοῖς ἀναπαίστοις ἐπίωμεν.
ἐξ οὗ γε χοροῖσιν ἐφέστηκεν τρυγικοῖς ὁ διδάσκαλος ἡμῶν,
οὔπω παρέβη πρὸς τὸ θέατρον λέξων ὡς δεξιός ἐστιν·
διαβαλλόμενος δ' ὑπὸ τῶν ἐχθρῶν ἐν Ἀθηναίοις ταχυβούλοις, 630
600 ὡς κωμῳδεῖ τὴν πόλιν ἡμῶν καὶ τὸν δῆμον καθυβρίζει,
ἀποκρίνεσθαι δεῖται νυνὶ πρὸς Ἀθηναίους μεταβούλους.
φησὶν δ' εἶναι πολλῶν ἀγαθῶν ἄξιος ὑμῖν ὁ ποιητὴς
παύσας ὑμᾶς ξενικοῖσι λόγοις μὴ λίαν ἐξαπατᾶσθαι,
μήθ' ἥδεσθαι θωπευομένους μήτ' εἶναι χαυνοπολίτας. 635
605 πρότερον δ' ὑμᾶς ἀπὸ τῶν πόλεων οἱ πρέσβεις ἐξαπατῶντες
πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν· κἀπειδὴ τοῦτό τις εἶποι,
εὐθὺς διὰ τοὺς στεφάνους ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθησθε·

---

595 schol. ἀνὴρ νικᾷ. — 596 Suid. ἀποδύντες . . . Ἀριστοφάνης ἀλλ' ἀπ. τ. ἀ. ἐ. — 599 Suid. ταχυβούλοις. — 603 Suid. ξενικοῖς... Ἀριστοφάνης παύσας ἡμῖν (ὑμᾶς A ἡμᾶς V) ξενικοῖσι λόγοισι μ. λ. ἐ. — 604 Suid. χαυνοπολίτας. — 606 f. Phryn. Bekk. an. 39 32 ἐπ'

Chor.

Der Mann dringt durch mit der Schärfe des Worts, und stimmt das Volk sich geneigter
und seinem Vertrag. Die Mäntel jetzt ab! wir beginnen die Chor-Anapaeste.
Unser Meister, seitdem mit trygischem Chor er hier die Bühne betreten,
noch nie an's Publicum hat er das Wort in eigener Sache gerichtet;
doch da ihn die Feinde gehässig verklagt bei Athens schnell fertigem Volke,
dass er über den Staat sich lustig gemacht und die Bürgerschaft kühnlich beleidigt,
so muss er hiermit sich erklären darauf vor Athens reumüthigem Volke.
Es glaubt sich der Dichter zu reichlichem Dank aus eurer Mitte berechtigt,
denn er hat sich bemüht, dass weniger leicht ihr den fremden Betrügern euch preis gebt,
auch nicht der schmeichelnden Reden euch freut und nicht so eitel euch blähet.
Sonst kamen aus anderen Städten hierher die Gesandten und redeten trüglich
von dem veilchenbekränzten Athen euch zuerst, und hattet ihr das nur vernommen,
da schwebtet ihr wegen der Kränze sogleich auf der äussersten Spitze des Sitztheils,

---

ἄκρων κάθησθε τῶν πυγιδίων. Suid. *πυγιδίων ... Ἀριστοφάνης εἰ γάρ τις εἴποι λοστεφάνους, εὐθὺς ἐπ' ἄκρων πυγιδίων κάθησθε.*

εἰ δέ τις ὑμᾶς ὑποθωπεύσας λιπαρὰς καλέσειεν Ἀθήνας,

εὕρετο πᾶν ἂν διὰ τὰς λιπαρὰς ἀφύων τιμὴν περιάψας.

ταῦτα ποιήσας πολλῶν ἀγαθῶν αἴτιος ὑμῖν γεγένηται

καὶ τοὺς δήμους ἐν ταῖς πόλεσιν δείξας ὡς δημοκρατοῦνται.
τοιγάρτοι νῦν ἐκ τῶν πόλεων τὸν φόρον ὑμῖν ἀπάγοντες

ἥξουσιν ἰδεῖν ἐπιθυμοῦντες τὸν ποιητὴν τὸν ἄριστον,

ὅστις παρεκινδύνευσ' εἰπεῖν ἐν Ἀθηναίοις τὰ δίκαια.

οὕτω δ' αὐτοῦ περὶ τῆς τόλμης ἤδη πόρρω κλέος ἦκει,

ὅτε καὶ βασιλεὺς Λακεδαιμονίων τὴν πρεσβείαν βασανίζων

ἠρώτησεν πρῶτα μὲν αὐτούς, πότεροι ταῖς ναυσὶ κρατοῦσιν,
εἶτα δὲ τοῦτον τὸν ποιητήν, ποτέρους εἴποι κακὰ πολλά·

τούτους γὰρ ἔφη τοὺς ἀνθρώπους πολὺ βελτίους γεγενῆσθαι

καὶ τῷ πολέμῳ πολὺ νικήσειν, τοῦτον ξύμβουλον ἔχοντας.

διὰ ταῦθ' ὑμᾶς Λακεδαιμόνιοι τὴν εἰρήνην προκαλοῦνται

καὶ τὴν Αἴγιναν ἀπαιτοῦσιν· καὶ τῆς νήσου μὲν ἐκείνης

οὐ φροντίζουσ', ἀλλ' ἵνα τοῦτον τὸν ποιητὴν ἀφέλωνται.

ἀλλ' ὑμεῖς τοι μήποτ' ἀφῆθ', ὡς κωμῳδήσει τὰ δίκαια.

φησὶν δ' ὑμᾶς πολλὰ διδάξειν ἀγάθ', ὥστ' εὐδαίμονας εἶναι,

---

608 f. Suid. θωπεύει ... καὶ Ἀριστοφάνης εἰ δέ τις ὑμᾶς ὑ. λ. κ. Ἀ., Εὕρε τὸ πᾶν ἂν δ. τ. λ. ἀφύων (ἀφύας E m. sec.) τ. π. — λιπαρά ... Ἀριστ. εἰ δέ τις (εἴ τις ABVE Med.) ἡμᾶς (ὑμᾶς AE) ὑ. λ. καλέσειεν (καλέσειε τὰς ABVE Med.) Ἀ., Εὕρε τὸ πᾶν ἂν ἀφύων

und nannten die Schmeichler darauf euch gar das fette Athen und das reiche,
so erlangten mit dem Wort jegliches sie, mit Sardellenbutter euch salbend.
Da er dieses gethan, hat er sicherlich euch sehr viel des Guten erwiesen,
und da er gezeigt, wie die Demokratie die Bundesstädte beglücke.
Und kommen die fremden Gesandten nun her, den Tribut zu entrichten der Städte,
da werden sie alle den Dichter zu seh'n den trefflichen eifrig begehren,
der vor den Athenern für Wahrheit und Recht zu sprechen den Muth sich genommen.
So weit ist der Ruf seiner Kühnheit schon zu den andern Völkern gedrungen;
hat doch der König der Perser sogar wohl prüfend der Sparter Gesandtschaft
zuerst zwar gefragt, ob sie oder wir zur See die mächtigsten wären,
dann aber nach unserem Dichter geforscht, ob Sparta, ob euch er jetzt tadle;
denn viel besser, so meint' er, muss ja das Volk, das ihn hört, allezeit werden,
und im Kriege den Sieg erringen mit Macht, da es dieser so weislich berathe.
Und darum verlangt auch Sparta so sehr, glaubt uns, nach Frieden und Ruhe,
und fordert Aegina wieder von euch, nicht weil ihm so viel an der Insel
gelegen ist, unseres Dichters Person nur möcht' es für sich wohl gewinnen.
Doch gebt ihn ja nicht heraus! er wird hier stets das Gerechte nur sagen
und gedenkt euch Gutes von vielerlei Art noch zu weisen zu euerem Glücke

---

τ. π. — 609 schol. *εὗρε τὸ π.* Suid. *ἀφύα . . . Ἀριστοφάνης εὗρε τὸ πᾶν διὰ* (*πᾶν εν δίω* ABE) *τὰς λ. ἀφύων* (*ἀφύας* E Med.) *τ. π.* Hesych. *ἀφύων τιμή.* Paroem. I 187 2 II 321 3. — 621 schol. *διὰ τοῦθ' ὑμᾶς* (*ἡμᾶς* R) *Λακεδαιμονίους.*

οὐ θωπεύων οὐδ' ὑποτείνων μισθοὺς οὐδ' ἐξαπατύλλων

οὐδὲ πανουργῶν οὐδὲ κατάρδων, ἀλλὰ τὰ βέλτιστα διδάσκων.

πρὸς ταῦτα Κλέων καὶ παλαμάσθω
καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω·
τὸ γὰρ εὖ μετ' ἐμοῦ, καὶ τὸ δίκαιον
ξύμμαχον ἔσται· κοὐ μήποθ' ἁλῶ
περὶ τὴν πόλιν ὢν ὥσπερ ἐκεῖνος
δειλὸς καὶ λακαταπύγων.

ΣΤΡΟΦΗ

δεῦρο μοῦσ' ἐλθὲ φλεγυρά, πυρὸς ἔχουσα μένος, ἔντονος ἀχαρνική.
οἷον ἐξ ἀνθράκων πρινίνων
φέψαλος ἀνήλατ' ἐρεθιζόμενος οὐρίᾳ ῥιπίδι,
ἡνίκ' ἂν ἐπανθρακίδες ὦσι παρακείμεναι,
οἳ δὲ θασίαν ἀνακυκῶσι λιπαράμπυκα,
οἳ δὲ μάττωσιν· οὕτω σοβαρὸν ἐλθὲ μέλος εὔτονον ἀγροικότερον
ὡς ἐμὲ λαβοῦσα τὸν δημότην.

οἱ γέροντες οἱ παλαιοὶ μεμφόμεσθα τῇ πόλει.
οὐ γὰρ ἀξίως ἐκείνων, ὧν ἐναυμαχήσαμεν,
γηροβοσκούμεσθ' ὑφ' ὑμῶν, ἀλλὰ δεινὰ πάσχομεν·
οἵτινες γέροντας ἄνδρας ἐμβαλόντες ἐς γραφὰς
ὑπὸ νεανίσκων ἐᾶτε καταγελᾶσθαι ῥητόρων
οὐδὲν ὄντας, ἀλλὰ κωφοὺς καὶ παρεξηυλημένους,

οἷς Ποσειδῶν ἀσφάλειός ἐστιν ἡ βακτηρία.

---

626 schol. οὐδ' ὑποτίνων. Suid. ὑποτείνων . . . οὐ θωπεύων οὐδ' ὑ. μ. οὐδ' ἐξαπατύλλων (ἐξαπατύλλοις *V). — 627 schol. οὔτε κατάρδων. Suid. κατάρδων . . . Ἀριστοφάνης . . . οὔτε κατ. ἀλλὰ τ. β. δ. — 633 Phot. 203 5 καὶ λακκαταπύγων, ὁ ἄγαν καταπύγων. — 634 Suid. φλεγυρά . . . Ἀριστοφάνης δεῦρο μοῦσ' ἐ. φ. προσέχουσα (πυρὸς ἔχουσα B Ox.) μένος. Hesych. — 636 Suid. οὐρίᾳ ῥιπίδι ἀνήλατο φέψαλος ἐρεθιζόμενος. — 637 Poll. VI 55

nicht mit Schmeicheln, auch mit Versprechungen nicht, und nicht mit falschem Gerede,
mit Intriguen und heuchelnder Süssigkeit nicht, vielmehr mit bester Ermahnung.

Da wehre sich Kleon, so viel er nur will,
und verfolge mich immer mit allerlei List:
Mitstreiterin soll die Gerechtigkeit
und die Tugend mir sein; nie wird es gescheh'n,
dass wie jener ich feig im Dienste des Staats
und als schuftigen Kerl mich erweise.

Strophe.

Nahe dich, Muse, voll des flammenden Feuergeistes, festen Schritts, Acharnerin;
wie man aus Eichenkohlen Dampfgewölk
funkensprühend wallen sieht, von des Blasebalges Hauch angefacht,
wenn zum Rösten Fische man gelegt hat auf den Kohlenherd,
schön im Topf die Sauce wird dazu gequirlt die thasische,
und gestippt dann mit Lust, so ein hurtig Liedchen bringe, recht im derben Bauerton
fest erklingend deinem Landsmanne her.

Uns den Greisen, hochbetagten, giebt die Stadt zur Klage Grund,
denn nicht unsrer Thaten würdig in den Schlachten auf der See
pflegt ihr uns im hohen Alter, sondern ihr misshandelt uns,
da ihr uns mit weissen Haaren vor Gericht noch ziehen lasst,
dass wir dort blutjungen Rednern zum Gespött und Hohne sind,
nichts als Schatten, stumpf und kraftlos, pfeifend auf dem letzten Loch,
deren schützender Poseidon einzig ihre Krücke ist.

ἐπανθρακίδας δὲ τὰ ἐπηνθρακωμένα ἰχθύδια. (Hesych.) Suid. *ἀνθρακιά . . . καὶ ἀνθρακίδες.* — 638 schol. *ἀνακυκλῶσιν.* Suid. *θασίαν κυκῶσι λιπαρά μπνικα.* — 639 schol. *ἀγροικότονον.* — 646 Suid. *παρεξηνλημένον νοῦν . . . Ἀριστοφάνης οὐδὲν ὄντας, ἀλλὰ κ. κ. π.* Phot. 396 1. vgl. Hesych. *παρεξηνλημένος.* Paroem. I 146 18 294 2 II 606 14 Zon. I 780 *ἐξηνλημένα καὶ παρηνλημένα.*

τονθορύζοντες δὲ γήρᾳ τῷ λίθῳ προσέσταμεν,
οὐχ ὁρῶντες οὐδέν, εἰ μὴ τῆς δίκης τὴν ἠλύγην·
ὁ δὲ νεανίας ἑαυτῷ σπουδάσας ξυνηγορεῖν
ἐς τάχος παίει, ξυνάπτων στρογγύλοις τοῖς ῥήμασιν·
κἄτ' ἀνελκύσας ἐρωτᾷ, σκανδάληθρ' ἱστὰς ἐπῶν,
ἄνδρα Τιθωνὸν σπαράττων καὶ ταράττων καὶ κυκῶν·
ὃ δ' ὑπὸ γήρως μασταρύζει κἄτ' ὀφλὼν ἀπέρχεται,
εἶτ' ἀλύει καὶ δακρύει καὶ λέγει πρὸς τοὺς φίλους·

οὔ μ' ἐχρῆν σορὸν πρίασθαι, τοῦτ' ὀφλὼν ἀπέρχομαι.

ΑΝΤΙΣΤΡΟΦΗ

ταῦτα πῶς εἰκότα, γέροντ' ἀπολέσαι πολιὸν ἄνδρα περὶ κλεψύδραν,
πολλὰ δὴ ξυμπονήσαντα καὶ θερμὸν ἀπομορξάμενον ἀνδρικὸν ἱδρῶτα δὴ καὶ πολύν,

ἄνδρ' ἀγαθὸν ὄντα Μαραθῶνι περὶ τὴν πόλιν;
εἶτα Μαραθῶνι μὲν ὅτ' ἦμεν, ἐδιώκομεν·
νῦν δ' ὑπ' ἀνδρῶν πονηρῶν σφόδρα διωκόμεθα κἄτα πρὸς ἁλισκόμεθα.
πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;

τῷ γὰρ εἰκὸς ἄνδρα κυφὸν ἡλίκον Θουκυδίδην
ἐξολέσθαι συμπλακέντα τῇ Σκυθῶν ἐρημίᾳ
τῷδε τῷ Κηφισοδήμῳ τῷ λάλῳ ξυνηγόρῳ;

---

648 Suid. λίθῳ ... Ἀριστοφάνης τονθορύζοντες δὲ γήρᾳ (τῷ γ. ABVE Med.) τ. λ. π. vgl. Et. M. 762 1 Phot. 569 1. 594 26 Thom. M. 352 17. — 649 Suid. ἠλύγη ... Ἀριστ. Ἀχαρνεῦσιν οὐδὲν ὁρῶντες εἰ μὴ τ. δ. τ. ἠ. vgl. Hesych. Phot. 67 9 Arcad. 105 7 τὸ ἀλέγη (l. ἠλύγη) ἡ σκιά. — 650 f. Suid. παίειν ... Ἀριστ. Ἀχαρνεῦσιν ὁ δὲ νεανίας ἐς τάχος παίει στρογγύλοις τ. ῥήμασι. — 651 Suid. ἐς τάχος γράφει ... καὶ ἐς τάχος παίει. — στρογγύλοις ... Ἀριστοφάνης ἐς τάχος παίει ξ. στρ. τ. ῥήμασι. — 652 schol. τὸ δὲ ὑπερβατὸν οὕτως, κἄτ' ἀνελκύσας σκανδαληθριστὰς ἐρωτᾷ ἡμᾶς. — διχῶς ἀναγινώσκεται· ὑφ' ἕν, ἵν' ᾖ σκανδαληθριστάς, ἢ ἀπόστροφος ἐν τῷ ρ κτλ. Suid. σκανδάληθρα ... Ἀριστοφάνης κἄτ' ἀνελκύσας ἐρωτᾷ σκ. ἴ. ἐ. Phot. 516 1 σκανδάληθρ' ἱστὰς ἐπῶν. Κρατῖνος. Hesych. σκανδάληθρ' ἱστάς. vgl. Etym. M. 715 45. Zon. II 1654. — 653 Phot. Τιθωνόν ... Ἀριστοφάνης ἄν. Τ. ταράττων κ. σπαράτ-

Murmelnd in den Bart vor Alter steh'n wir dort am Rednerstein,
nichts erkennend mit den Augen, als des Rechts Verfinsterung;
doch der junge Herr Verkläger, der die Rede wohl studirt,
im Geschwindtakt schlägt er zu und dringt gemess'nen Wortes vor,
hetzt uns hin und her mit Fragen, stellt uns Fallen rechts und links,
zerrt den wankenden Tithonos, quälet und verwirrt ihn ganz,
bis den altersgrauen Stammler er zum Zahlen sieht verdammt.
Der bringt schluchzend dann und weinend vor die Seinen den Bericht:
'was zum Sarg ich sparen müsste, bin zu zahlen ich verdammt.'

Gegenstrophe.

Ist das wohl billig, bei der Wasseruhr altersschwachen Männern so mitzuspielen,
die sich's haben Mühe kosten lassen und
bei der Arbeit vielen sauren Schweiss sich oft von der Stirn abgewischt,
Männern, die bei Marathon kämpften für die Vaterstadt?
Ja als wir bei Marathon stritten, da verfolgten wir,
aber jetzt werden wir von Taugenichtsen hart verfolgt und gefangen obenein.
Spricht für uns denn kein Wort ein Marpsias?

Sprecht, wie ziemt sich's, dass gebückte Greise wie Thukydides
schwer bedrängt zum Opfer fallen skythischer Verlassenheit,
diesem Schuft Kephisodemos, der so gern den Kläger macht?

των κ. κ. Suid. *ἄνδρα Τιθωνὸν σπ. καὶ ταρ. κ. κ.* — *Τιθωνοῦ γῆρας . . . Ἀριστοφάνης ἄνδρα Τιθ. κτλ.* Et. M. 758 28 *Τιθωνός . . . σημαίνει καὶ τὸν γέροντα παρὰ Ἀριστοφάνει.* Eust. 825 63 *ἡ δὲ παροιμία ἐπὶ δυστυχῶν γερόντων τίθησι τὸ τοῦ Τιθωνοῦ ὄνομα, ὡς δηλοῖ ὁ εἰπὼν γέροντα ἄνδρα Τ. σπαρ. κ. ταρ. κ. κ.* — 654 Suid. *μασταρύζει . . . Ἀριστ. ὃ δ' ὑπὸ γήρως μ.* Phot. 248 16. — 655 schol. *λύζει· ἐὰν μὲν διὰ τοῦ ζ, ὀλολύζει· ἐὰν δὲ χωρὶς τοῦ ζ, ἀλύει, τουτέστιν ἀδημονεῖ.* Suid. *λύζει . . εἶτα λύζει καὶ δακρ. κ. λ. π. τ. φ.* (vgl. Galen. expl. voc. Hippocr. *ἀλύζει.*) — 656 Suid. *ὄφλων . . . οὗ μ' ἐχρῆν σορὸν πρ., τ. ὄφλων ἀπ.* (schol.) — 662 Suid. (schol.) *προσαλισκόμεθα . . . κἄτα προσαλισκόμεθα* (*προσαλισκόμεσθα* A). — 663 Suid. *Μαρψίας . . . Ἀριστοφάνης πρὸς τάδε τίς ἀντερεῖ Μαρψίας;* Eudocia p. 301. — 664 Hesych. *κυφόν. καμπύλον, κυρτόν. διὰ γῆρας ἐπικεκυρτωμένον.*

ὥστ' ἐγὼ μὲν ἠλέησα κἀπεμορξάμην ἰδὼν
ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον·
ὃς μὰ τὴν Δήμητρ', ἐκεῖνος ἡνίκ' ἦν Θουκυδίδης,
οὐδ' ἂν αὐτὴν τὴν Ἀχαίαν ῥᾳδίως ἠνέσχετο,
ἀλλὰ κατεπάλαισε μέν γ' ἂν πρῶτον Εὐάθλους δέκα, 710
κατεβόησε δ' ἂν κεκραγὼς τοξότας τρισχιλίους,
περιετόξευσεν δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
ψηφίσασθε χωρὶς εἶναι τὰς γραφάς, ὅπως ἂν ᾖ
τῷ γέροντι μὲν γέρων καὶ νωδὸς ὁ ξυνήγορος, 715
τοῖς νέοισι δ' εὐρύπρωκτος καὶ λάλος χὠ Κλεινίου.
κἀξελαύνειν χρὴ τὸ λοιπόν, κἂν φύγῃ τις, ζημιοῦν
τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.

---

667 f. Hesych. *ἀπεμορξάμην.* *ἐδάκρυσα.* Suid. *ἀπεμορξάμην . . . ὥστ' ἐγὼ κτλ.* bis *τοξότου κοιμώμενον* (*κυκώμενον* Vat. ABCE). — 668 schol. *ἐπ' ἀνδρὸς τοξότου.* — 670 schol. *Ἀχαιὰν.* Suid. *Ἀχαία . . . Ἀριστοφάνης οὐδ'* (*οὐκ* CV) *ἂν τὴν Ἀχαίαν* (*Ἀρχαίαν* *V) *κατεδέξατο . . . . ὁ δὲ νοῦς, οὐκ ἠνέσχετο ἂν οὐδὲ τὴν Ἀχαίαν αὐτήν.* Bekker anecd. 473 (Bachm. I 174 24) *Ἀχαία. ἐπίθετον Δήμητρος . . .*

Das ging mir zu Herzen, und ich musste weinen, da ich sah,
wie der Schelm von einem Schützen diesen Greis misshandelte,
der wahrhaftig bei Demeter, als er noch Thukydides,
solches nicht sich hätte bieten lassen von Achaea selbst,
sondern er hätte zehn Euathlos gleich zu Anfang niedergeboxt,
hätte mit mächt'ger Stimme dann dreitausend Schützen überschrie'n,
niedergeschossen noch die ganze Vatersippe solcher Kerls.
Aber da ihr uns den Greisen nicht des Schlafs Erquickung gönnt,
o so lasst doch unsre Händel von den andern abgetrennt,
dass wer zahnlos ist, ein Greis nur, einen Greis verklagen darf,
doch die Jungen die unverschämten Schwätzer, so ein Klinias-Sohn;
und so ängst'ge denn in Zukunft und bestrafe nöth'genfalls
jedesmal ein Greis den Greisen, junge Leute Jugendkraft.

